"Ερωτικά Επιγράμματα"
για φωνητικό σεξτέτο a cappella

(Sopr. I (SI)
Sopr. II (SII)
Alto (A)
Tenor (T)
Baritono (Bar.)
Basso (Bass.)

I. Εὐμαθίην ᾐτεῖτο διδούς ἐμέ Σῖμος ὁ Μίκκου
ταῖς Μούσαις· αἱ δέ, Γλαῦκος ὅκως, ἔδοσαν
ἀντ' ὀλίγου μέγα δῶρον. Ἐγώ δ' ἀνά τῇδε κεχηνώς
κεῖμαι τοῦ Σαμίου διπλόον, ὁ τραγικός
παιδαρίων Διόνυσος ἐπήκοος· οἱ δέ λέγουσιν:
"ἱερός ὁ πλόκαμος" — τοὐμόν ὄνειαρ ἐμοί.

2. Ἡσιόδου ποτέ βύβλον ἐμαῖς ὑπό χερσίν ἑλίσσων
Πύρρην ἐξαπίνης εἶδον ἐπερχομένην·
βύβλον δέ ῥίψας ἐπί γῆν χερί, τοῦτ' ἐβόησα:
"Ἔργα τί μοι παρέχεις, ὦ γέρον Ἡσίοδε;"

A. 1. (3.) Ματρός ἔτ' ἐν κόλποισιν ὁ νήπιος ὀρθρινά παίζων
ἀστραγάλοις τοὐμόν πνεῦμ' ἐκύβευσεν Ἔρως.

10 (4.) Οὐκ εἴμ' οὐδ' ἐτέων δύο κεἴκοσι καί κοπιῶ ζῶν.
Ὦρωτες, τί κακόν τοῦτο; τί με φλέγετε;
Ἤν γάρ ἐγώ τι πάθω, τί ποιήσετε; Δῆλον, Ἔρωτες,
ὡς τό πάρος παίξεσθ' ἄφρονες ἀστραγάλοις. — Allegro vivace

12 (5.) Αὐτοί τήν ἁπαλήν Εἰρήνιον εἶδον Ἔρωτες, — Lent tranquillo
Κύπριδος ἐκ χρυσέων ἐρχόμενοι θαλάμων,
ἐκ τριχός ἄχρι ποδῶν ἱερόν θάλος, οἷά τε λύγδου
γλυπτήν, παρθενίων βριθομένην χαρίτων,
καί πολλαῖς τότε χερσίν ἐπ' ἠιθέοισιν ὀιστούς
τόξου πορφυρέης ἧκαν ἀφ' ἁρπεδόνης.

11 (6.) Ἐχθαίρω τόν Ἔρωτα. Τί γάρ βαρύς οὐκ ἐπί θῆρας — Allegro mosso ed appassionato ♩= 126
ὄρνυται, ἀλλ' ἐπ' ἐμήν ἰοβολεῖ κραδίην;
Τί πλέον, εἰ θεός ἄνδρα καταφλέγει; Ἤ τί τό σεμνόν
δηώσας ἀπ' ἐμῆς ἆθλον ἔχει κεφαλῆς;

9 (7.) Ἐνόπλῶ καί πρός σε μαχήσομαι, οὐδ' ἀπεροῦμαι
θνητός ἐών· σύ δ', Ἔρως, μηκέτι μοι πρόσαγε.
Ἤν με λάβῃς μεθύοντ', ἄπαγ' ἔκδοτον· ἄχρι δέ νήφω,
τόν παραταξόμενον πρός σέ λογισμόν ἔχω.

13 (8.) Κεῖμαι· λάξ ἐπίβαινε κατ' αὐχένος, ἄγριε δαῖμον. — Allegro violento
Οἶδα σε, ναί μά θεούς, καί βαρύν ὄντα φέρειν·
οἶδα καί ἔμπυρα τόξα. Βαλών δ' ἐπ' ἐμήν φρένα πυρσούς,
οὐ φλέξεις ἤδη· πᾶσα γάρ ἐστι τέφρη.

A. 3. (9.) Tutti Ἡ λαμυρή μ' ἔτρωσε Φιλαίνιον· εἰ δέ τό τραῦμα Solo
μή σαφές, ἀλλ' ὁ πόνος δύεται εἰς ὄνυχας.
Tutti Οἴχομ', Ἔρωτες, ὄλωλα, διοίχομαι· εἰς γάρ ἔχιδναν
νυστάζων ἐπέβην ἤδ' ἔθιγον γ' Ἀΐδα.

B 7 (10.) Ἡδύ θέρους διψῶντι χιών ποτόν, ἡδύ δέ ναύταις
ἐκ χειμῶνος ἰδεῖν εἰαρινόν Στέφανον· — Commodo
ἥδιον δ' ὁπόταν κρύψῃ μία τούς φιλέοντας
χλαῖνα καί αἰνῆται Κύπρις ὑπ' ἀμφοτέρων.

II. Ἕλκος ἔχων ὁ ξεῖνος ἐλάνθανεν· ὡς ἀνιηρόν
πνεῦμα διά στηθέων — εἶδες; — ἀνηγάγετο,
τό τρίτον ἡνίκ' ἔπινε, τά δέ ῥόδα φυλλοβολεῦντα
τὠνδρός ἀπό στεφάνων πάντ' ἐγένοντο χαμαί·
ὤπτηται μέγα δή τι, μά δαίμονας· οὐκ ἀπό ῥυσμοῦ
εἰκάζω, φωρός δ' ἴχνια φώρ ἔμαθον.

I2. Οἶνος ἔρωτος ἔλεγχος· ἐρᾶν ἀρνεύμενον ἡμῖν
ἤτασαν αἱ πολλαί Νικαγόρην προπόσεις·
καί γάρ ἐδάκρυσεν καί ἐνύστασε καί τι κατηφές
ἔβλεπε χὠ σφιγχθείς οὐκ ἔμενε στέφανος.

14. 13. Πέμπω σοι, Ῥοδόκλεια, τόδε στέφος, ἄνθεσι καλοῖς *Larghetto*
αὐτός ὑφ' ἡμετέραις πλεξάμενος παλάμαις.
Ἔστι κρίνον ῥοδέη τε κάλυξ νοτερή τ' ἀνεμώνη *~~Andantino~~ amabile*
καί νάρκισσος ὑγρός καί κυαναυγές ἴον.
Ταῦτα στεψαμένη, λῆξον μεγάλαυχος ἐοῦσα·
ἀνθεῖς καί λήγεις καί σύ καί ὁ στέφανος.

15. 14. Ὁ στέφανος περί κρατί μαραίνεται Ἡλιοδώρας· *(Andante) Lento maestoso*
αὐτή δ' ἐκλάμπει τοῦ στεφάνου στέφανος.

15. Ἔγχει καί πάλιν εἰπέ, πάλιν, πάλιν, "Ἡλιοδώρας"·
εἰπέ, σύ δ' ἀκρήτῳ τό γλυκύ μίσγ' ὄνομα·
καί μοι τόν βρεχθέντα μύροις, καί χθιζόν ἐόντα,
μναμόσυνον κείνας ἀμφιτίθει στέφανον.
Δακρύει φιλέραστον, ἰδού, ῥόδον, οὕνεκα κείναν
ἄλλοθι κού κόλποις ἁμετέροις ἐσορᾷ.

16. Νικαρέτης τό πόθοισι βεβλημένον ἡδύ πρόσωπον,
πυκνά δι' ὑψιλόφων φαινόμενον θυρίδων,
αἱ χαροπαί Κλεοφῶντος ἐπί προθύροισι μάραναν,
Κύπρι φίλη, γλυκεροῦ βλέμματος ἀστεροπαί.

17. Ἡ κομψή, μεῖνόν με. Τί σοι καλόν οὔνομα; Ποῦ σε
ἔστιν ἰδεῖν; Ὅ θέλεις, δώσομεν. Οὐδέ λαλεῖς;
Ποῦ γίνει; Πέμψω μετά σοῦ τινα. Μή τις ἔχει σε;
Ὦ σοβαρή, ὑγίαιν'. Οὐδ' "ὑγίαινε" λέγεις;
Καί πάλι καί πάλι σοι προσελεύσομαι· οἶδα μαλάσσειν
και σοῦ σκληροτέρας. Νῦν δ' ὑγίαινε, γύναι.

A.6 18. Ἡ τά ῥόδα, ῥοδόεσσαν ἔχεις χάριν. Ἀλλά τί πωλεῖς;
σαυτήν ἤ τά ῥόδα ἠέ συναμφότερα; → *Andante*

B.11 19. Εἴθε ῥόδον γενόμην ὑποπόρφυρον, ὄφρα με χερσίν
ἀρσαμένη χαρίσῃ στήθεσι χιονέοις. *attacca* → *~~Amoroso~~ Scherzando*

B.12 20. Εἴθ' ἄνεμος γενόμην, σύ δέ δή στείχουσα παρ' αὐγάς
στήθεα γυμνώσαις καί με πνέοντα λάβοις. → *Stesso tempo*

A.4. 21. Μή με δόκει πιθανῶς ἀπατᾶν δακρύοισι, Φιλαινί.
Οἶδα· φιλεῖς γάρ ὅλως οὐδένα μεῖζον ἐμοῦ, → *Scherzando*
τοῦτον ὅσον παρ' ἐμοί κέκλισαι χρόνον. Εἰ δ' ἕτερός σε
εἶχε, φιλεῖν ἄν ἔφης μεῖζον ἐκεῖνον ἐμοῦ.

A.2. 22. Ἑρμιόνῃ πιθανῇ ποτ' ἐγώ συνέπαιζον ἐχούσῃ
ζώνιον ἐξ ἀνθέων ποικίλον, ὦ Παφίη,
χρύσεα γράμματ' ἔχον. "Διόλου" δ' ἐγέγραπτο "φίλει με
καί μή λυπηθῇς, ἤν τις ἔχῃ μ' ἕτερος."

A.5. 23. Λύχνε, σέ γάρ παρεοῦσα τρίς ὤμοσεν Ἡράκλεια
ἥξειν κοὐχ ἥκει· λύχνε, σύ δ', εἰ θεός εἶ, *Burlesco*
τήν δολίην ἀπάμυνον· ὅταν φίλον ἔνδον ἔχουσα
παίζῃ, αποσβεσθείς μηκέτι φῶς πάρεχε.

24. Νύξ, σέ γάρ, οὐκ ἄλλην μαρτύρομαι, οἷά μ' ὑβρίζει
Πυθιάς ἡ Νικοῦς, οὖσα φιλεξαπάτης.
Κληθείς, οὐκ ἄκλητος, ἐλήλυθα· ταὐτά παθοῦσα
σοί μέμψαιτ' ἐπ' ἐμοί στᾶσα παρά προθύροις.

25. Λουσάμενοι, Προδίκη, πυκασώμεθα καί τόν ἄκρατον
ἕλκωμεν κύλικας μείζονας αἰρόμενοι.
Βαιός ὁ χαιρόντων ἐστίν βίος· εἶτα τά λοιπά
γῆρας κωλύσει, καί τό τέλος θάνατος.

I. σᾶμα τὸδ' 'Ερμαῖο τῦ Κυδονῖκο τῦ 'Αγρῖτα.

Εὐρυσθεὺς Σθενέλοιο πάϊς Περσηϊάδαο.

2. λοιμῦι θανόσες εἰμὶ σε̃μα Μυρίνες.

3. ΔFενία τόδε σᾶμα, τὸν ὄλεσε πόντος αναιδές.

4. Εὐμάρες με πατέρ 'Ανδροκλέος ἐντάδε σᾶμα
ποιFέσανς καταέθεκε φίλο μνᾶμα Ηυιέος ἐμεν.

5. "Ανδρων ἐνθάδε κεῖται, ὅς αὐτῦ τὸν μὲν ἐπεῖδεν
νῦν ἀποφθίμενον, τὸν δ' ὑπέδεκτο θανὼν.

6. ἦ καλὸν τὸ μνῆμα πατὴρ ἔστησε θανούσῃ
Λεαρέτῃ' οὐ γὰρ ἔτι ζῶσαν ἐσοψόμεθα.

7. ἐσλὸς ἐὼν Πολύιδος 'Εχεκρατίδεω φίλος υἱὸς
οἶκον ἀμαυρώσας ὤλετ' ἄωρος εὼν.

8. ὦ ξεῖν ? εὔυδρόν ποκ' ἐναίομες ἄστυ Κορίνθο
νῦν δ' Ηαμ Αἴαντος νᾶσος ἔχει Σαλαμίς.

9. μνῆμα τόδε κλεινοῖο Μεγιστία, ὅν ποτε Μῆδοι
Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι,
μάντιος, ὅς τότε Κῆρας ἐπερχομένας σάφα εἰδὼς
οὐκ ἔτλη Σπάρτης ἡγεμόνας προλιπεῖν.

IO. ἐξ ἀγαθῶν πατέρων "Αγαθος φὺς ἐνθάδε κεῖται.

II. ἑπταέτης Ξενοφῶν ἔτι νήπιος ἐνθάδε κεῖται,
ὅς τόσον ἔζησεν, τόσσον ἄλυπος ἔην.

I2. εἴκοσιν οὐδέπω ὄντα ἐτῶν ὅδε τύμβος ἔκρυφεν,
ἤμασι πέντε νόσῳ πνεῦμα λιπόντα βίου.

I3. Βιττὼ καὶ Φαινίς, φίλη 'Ημέρη, αἱ ξυνέριθοι,
αἱ πενιχραὶ γραῖαι τῷδ' ἐκλίθημεν ὁμοῦ,
ἀμφότεραι Κῷαι, πρῶται γένος' ὦ γλυκὺς "Ορθρος,
προς λύχνον ᾧ μύθους ἤδομεν ἡμιθέων.

I4. σύντομος ἦν ὁ ξεῖνος, ὅ καὶ στίχος οὐ μακρὰ λέξων
"Θῆρις 'Αρισταίου Κρής" ἐπ' ἐμοὶ δολιχός.

I5. πάντα Χάρων ἄπληστε, τί τὸν νέον ἥρπασας αὔτως
"Ατταλον; οὐ σὸς ἔην κεἰ θάνε γηραλέος;

I6. ἀρκεῖ μοι γαίης μικρὴ κόνις, ἡ δὲ περισσὴ
ἄλλον ἐπιθλίβοι πλούσια κεκλιμένον
στήλη, τὸ σκληρὸν νεκρῶν βάρος. εἴ με θανόντα
γνώσοντ' 'Αλκάνδρῳ τοῦτο τί Καλλιτέλευς;

I7. αὐτόμαται δείλη ποτὶ ταὔλιον αἱ βόες ἦλθον
ἐξ ὄρεος πολλῇ νειφόμεναι χιόνι'
αἰαῖ Θηρίμαχος δὲ παρὰ δρυΐ τὸν μακρὸν εὕδει
ὕπνον· ἐκοιμήθη δ' ἐκ πυρὸς οὐρανίου.

I8. 'Ασπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνῳ,
ἔντος αμώμητον, κάλλιπον οὐκ εθέλων.
Αὐτὸν δ' ἐξεσάωσα. Τί μοι μέλει ἀσπὶς ἐκείνη;
ἐρρέτω' ἐξαῦτις κτήσομαι οὐ κακίω.

I9. 'Εν δορὶ μέν μοι μᾶζα μεμαγμένη' ἐν δορὶ δ' οἶνος
Ισμαρικὸς' πίνω δ' ἐν δορὶ κεκλιμένος.